πόλ[ιν προδούς τι]ν' ἢ cατράπην ἢ cτ[ρατόπεδον
..[ ]ṇεcτι. δῆλός ἐcτι.
(? Φε.) πῶc;
(? Γν.) οὐθεὶc ἐπλούτηcεν ταχέωc δίκαιοc ὤν·
ὁ μὲν γὰρ αὑτῶι cυλλέγει καὶ φείδεται,
ὁ δὲ τὸν πάλαι τηροῦντ' ἐνεδρεύcαc πάντ' ἔχει.
(? Φε.) ὡc ἄδι[κον ]
(? Γν.) ὀμνύω τὸν Ἥλιον,
εἰ μὴ φέ[ρων ὁ παῖ]c ὄπιcθ' ἐβάδιζέ μου
τὰ Θάc[ια καί τιc] ἦν ὑπόνοια κραιπάληc,
ἐβόων [ἂν αὐτῶι παρα]κολουθῶν ἐν ἀγορᾶι·
"ἄνθρωπε, πέρυcιν πτωχὸc ἦcθα καὶ νεκρόc,
νυνὶ δὲ πλουτεῖc. λέγε, τίν' εἰργάζου τέχνην;
τοῦτο γ' ἀπόκριναι· πόθεν ἔχειc ταῦτ'; οὐκ ἄπει
ἐκ τῆc ὁδοῦ 'τέρ]ωcε; τί διδάcκειc κακά;
τί λυcιτελεῖν ἡμῖν ἀποφαίνειc τἀδικεῖν;"

]με: ναί: | ] καὶ πε̣π̣ρα̣κ̣' ἄρα | ].ἐλπίδων | ]ε̣κ̣ε̣ι̣ν̣ου̣με̣ν̣ω | ]νην δήπου[ | ] ἔχω· τὸ δ' ἐγκα[λεῖν | ] με· ὡc οὐ δέον | ]ω̣ τὸν χρώμενον: | ἐ]μβεβρόντηcαι π̣ά̣λ̣α̣ι̣ | ]κ̣λ̣ίνων μάτην | τ]αῖc χερ[cὶν | ]τουτονί | ]c λαμβάνειν | ΔΑΟϹ. οὐκοῦν Γνάθων | ]οιγε: ὦ Γνάθων | ]μβ[

(desunt uersus nonnulli)

περανοῦμεν: ω̣[ | τὸν πορνοβοσκό[ν | πάντων: ΔΑΟϹ. πολ.

(desunt uersus fere ii, restant laciniae uersuum iii)

(Α.) εἶc ἐcτιν, [εἶc
δι' οὗ τὰ πάντ' ἀπόλωλε, τρόφιμε, πράγματα